πατρῶιον. ἤδη δ' ἐcτὶ μειρακύλλιον
ὁ παῖc ὑπὲρ τὴν ἡλικίαν τὸν νοῦν ἔχων·
προάγει γὰρ ἡ τῶν πραγμάτων ἐμπειρία.
ὁ γέρων δ' ἔχων τὴν θυγατέρ' αὐτὸc ζῆι μόνοc
καὶ γραῦν θεράπαιναν, ξυλοφορῶν cκάπτων τ', ἀεὶ
πονῶν, ἀπὸ τούτων ἀρξάμενοc τῶν γειτόνων
καὶ τῆc γυναικὸc μέχρι Χολαργέων κάτω
μιcῶν ἐφεξῆc πάνταc. ἡ δὲ παρθένοc
γέγονεν ὁμοία τῆι τροφῆι τιc, οὐδὲ ἓν
εἰδυῖα φλαῦρον. τὰc δὲ cυντρόφουc ἐμοὶ
Νύμφαc κολακεύουc' ἐπιμελῶc τιμῶcά τε
πέπεικεν αὐτῆc ἐπιμέλειαν cχεῖν τινα
ἡμᾶc· νεανίcκον τε καὶ μάλ' εὐπόρου
πατρὸc γεωργοῦντοc ταλάντων κτήματα
ἐνταῦθα πολλῶν, ἀcτικὸν τῆι διατριβῆι,
ἥκο]ντ' ἐπὶ θήραν μετὰ κυνηγέτου τινὸc
]υ κατὰ τύχην παραβαλόντ' εἰc τὸν τόπον
]. ἔχειν πωc ἐνθεαcτικῶc ποῶ.
ταῦτ' ἐcτὶ τὰ κεφάλαια, τὰ καθ' ἕκαcτα δὲ
ὄψεcθ]' ἐὰν βούληcθε—βουλήθητε δέ.
καὶ γὰ]ρ προcιόνθ' ὁρᾶν δοκῶ μοι τουτονὶ
τὸν ἐρῶντα τόν τε cυγκ[υνηγέτη]ν ἅμα,
αὐτοῖc ὑπὲρ τούτων τι c[υγκοινουμ]ένουc.

*ΧΑΙΡΕΑC*

τί φήιc; ἰδὼν ἐνθένδε παῖδ' ἐλευθέραν